τωνι, συναΐδιον τὴν ὕλην τῷ θεῷ τίθεσθαι νομίζων. ἀΐδιον μὲν γὰρ αὐτὴν λέγει, συναΐδιον δὲ τῷ θεῷ οὐκ ἄν ποτε οὐδαμοῦ λέγοντα εὕροις. εἰ δ' ἐπαγάγοι, ὡς εἰ ἀΐδιος μὲν ἡ ὕλη, ἀΐδιος δὲ ὁ θεός, συναΐδιος ἄρα ἡ ὕλη τῷ θεῷ, παρὰ τὴν ὁμωνυμίαν πλανᾶται. οὐ γὰρ συνωνύμως, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν τὸ ἀΐδιον θεοῦ τε καὶ τῆς ὕλης κατηγορεῖται. πολλοὶ γὰρ δὴ ἀθανασίας, πολλοὶ ἀμεταβλησίας, πολλοὶ ἀϊδιότητος καὶ πολλῶν ἄλλων τῶν κοινῶς ἐπὶ θεοῦ καὶ τῶν ὄντων λεγομένων βαθμοὶ παρὰ Πλάτωνι. οὓς ὁ βουλόμενος εἴσεται τοῖς ἐκείνου καὶ τῶν περὶ αὐτὸν συγγράμμασιν ἐντυχών. πολὺ γὰρ καὶ τὸ πᾶν διαφέρει τὸ πᾶσαν ἅμα τὴν τοῦ ὄντος ἀπειρίαν περιειληφὸς ἀΐδιον, οἷον τὸν θεὸν εὐσεβῶς Πλάτων γεραίρει, τοῦ ἐν τῷ γίνεσθαι ἀεὶ τὸ εἶναι ἔχοντος ἀϊδίου καὶ τὴν ἄπειρον τοῦ εἶναι δύναμιν ἀεὶ δεχομένου, οἷον δοξάζει τὸν κόσμον καὶ τὰ φυσικὰ ταῦτα
B 38ᵛ κατά γε τὰς αὐτῶν ὁλότητας καὶ ἀκολούθως τὴν ὕλην αὐτῶν. ὃ τὸν κατήγορον, γραμματιστήν γε ὄντα καὶ τοῖς παισὶν ἑκάστοτε περὶ ποίησίν τε καὶ γραμματικὴν ἀσχολουμένοις Βοηθίου τὰ παραμυθητικὰ ἐξηγούμενον οὕτω τὴν ἔνστασιν ταύτην ὑπὲρ Πλάτωνος λύοντος, θαυμαστὸν ἀγνοῆσαι. καὶ ἄλλως δὲ τὸ τοῦ θεοῦ ἀΐδιον αἴτιον αἰτιατοῦ τοῦ τῆς ὕλης καὶ κόσμου ἀϊδίου ὑπάρχον πῶς οὐχὶ μεγίστοις ὅροις διΐσταται; ἐπεὶ καὶ Ἀριστοτέλης, εἴ τις αὐτῷ τὰ ὅμοια ἐγκαλοίη ἀΐδιον καὶ αὐτῷ τὴν ὕλην, ἀΐδιον καὶ τὸν κόσμον τιθεμένῳ — τὸν γὰρ θεὸν τίς ἂν ἀρνήσαιτο μὴ καὶ ἀΐδιον ὁμολογεῖν —, ῥᾷστα ἂν τοὺς ἐπιτιμῶντας ἀπορραπίσειε τὸ ὁμώνυμον προβαλλόμενος. καὶ πλεῖστον, μᾶλλον δὲ τὸ ὅλον διαφέρειν τὸ αἰτιατικὸν ἀΐδιον τοῦ αἰτιατοῦ
U 60 ἀϊδίου ἐρεῖ. ἔστι γὰρ ἡ μεγίστη τῶν ἀντικειμένων διαφορὰ καὶ διάστασις
V 50 ἡ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν καὶ ὅση ἡ τῶν κατ' ἀντίφασιν ἀντικειμένων, ἣν πασῶν ἀντιθέσεων μεγίστην οὖσαν ἴσμεν. τὸ γὰρ τινὸς αἰτιατὸν οὐχὶ δήπου καὶ αἴτιον τοῦ αὐτοῦ. δηλοῦσι δὲ καὶ τὰ παχυμερῆ ταῦτα παραδείγματα κοινῶς ὑπὸ πάντων λεγόμενα. τό τε ἀΐδιον δηλαδὴ τοῦ ποδὸς ἴχνος, εἰ ἐξ ἀϊδίου ὁ ποῦς ἦν, καὶ ἡ τῆς ῥάβδου ἀΐδιος σκιά, εἰ ἡ ῥάβδος ἀΐδιος οὖσα ὑπὸ ἀϊδίου κατελάμπετο τοῦ ἡλίου. τίς γὰρ νοῦν ἔχων ἢ τὸ ἴχνος τῷ ποδὶ συναΐδιον ἢ τὴν σκιὰν τῷ ἡλίῳ ἐτίθετ' ἄν;

Ἀλλὰ ταῦτα μὲν πλατύτερον διά τε τὸ τοῦ ζητήματος ἀναγκαῖον καὶ ἅμα οὐ μᾶλλον ὑπὲρ Πλάτωνος ἢ καὶ Ἀριστοτέλους αὐτοῦ εἰρημένα — τὰ αὐτὰ γὰρ ἄν τις ἀγνωμονῶν ἐγκαλοίη κἀκείνῳ, ἐξ ὧν ἀποδείξομεν λέγοντα — ἐνταῦθα στήτω.

Κεφ. ζ' Ὅτι οὐκ ἀληθὲς τὸν Ἀριστοτέλη δόξαι τὸν κόσμον ἐκ τοῦ μὴ ὄντος παρῆχθαι κατὰ μόνην τὴν τοῦ θεοῦ βούλησιν, ὡς ὁ κατήγορος οἴεται.

7,1 Περὶ δ' Ἀριστοτέλους ἴδωμεν, πῶς ἐκ τοῦ μὴ ὄντος θελήσει θεοῦ παράγει τὸν κόσμον, ὡς ὁ συκοφάντης ὀνειροπολεῖ εἰκοτολογίαις, μᾶλλον δὲ εἰκαιολογίαις τισὶν ἑαυτοῦ κατὰ πολλὴν ἐξουσίαν φαντάσματα ἀναπλάττων ἀσύστατα. θελήσεως μὲν γὰρ θεοῦ οὐδὲ μνησθέντα αὐτὸν ὅλως εὑρήσεις οὐδαμοῦ τῶν αὐτοῦ συγγραμμάτων, θέλησιν, βούλησιν, ἀγαθότητα, πρόνοιαν

ΙΩΑΝΝΙΝΑ 2006